8° A. gr.
1012

1012. A. v. gr.

416 224 113 800 19

# THEOPHRASTI CHARACTERES ETHICI

GRAECE
IN VSUM SCHOLARUM
DENUO EDITI.

MAGDEBURGI
Sumt. *Ioannis Adami Creuzii*
CIↃ IↃ CCLXXVIIII.

Ad Bibl. Acad. Land.

Universitäts-Bibliothek München

# Praefatio.

*Quatuor ſunt anni et quod excurrit, quum libelli huius Theophraſtei pararem* ἔκδοσιν *vſui ſcholaſtico accommodatam, Helmſtadii, vbi tunc temporis literarum cauſſa morabar, typis exſcribendam. At vero poſteaquam Halam ſtatim peterem neceſſe erat, editionis Fiſcherianae exemplar typographo tradendum, tunc autem rei huic nondum ſatis aptum* (multa enim immutanda, multa indicis in compendium redigenda ſupererant) *hoc igitur exemplar bibliopola Zapfius mihi extortum homini*

 neſcio

*nescio cui tradidit, quo facto talis meo nomine insignita prodiit editio, quam valde mihi displicere, tantum quod prelum reliquerat, bibliopolae per literas significabam.*

*Jam vero exemplis illius editionis distractis in hac paranda aliam rationem sum secutus, quippe quae indice omisso, in tali libro aut plane nullius aut perexigui tamen commodi tironibus futuro, textum, quem vocant, solum exhibeat, signis, quibus nostro aliisque sermonibus scripta interpungi consueuerunt, denuo distinctum, quam quidem diligentiam haud inutilem visuram spero atque confido, quum, quantopere bene distinctus liber intelligentiae scriptoris prosit, male distinctus obsit, quotidie fere edoceamur. Scrib.* Berolin. d. X. Jan. cIɔ Iɔ CC LXXVIIII.

J. C. Bremer.

## ΠΡΟΟΙΜΙΟΝ.

Ἤδη μὲν καὶ πρότερον πολλάκις, ἐπιςήσας τὴν διάνοιαν, ἐθαύμασα, ἴσως δὲ ὐδὲ παύσομαι θαυμάζων, τί γάρ δήποτε, τῆς Ἑλλάδος ὑπὸ τὸν αὐτὸν ἀέρα κειμένης, καὶ πάντων τῶν Ἑλλήνων ὁμοίως παιδευομένων, συμβέβηκεν ἡμῖν, ὐ τὴν αὐτὴν τάξιν τῶν τρόπων ἔχειν.
2 Ἐγὼ γάρ, ὦ Πολύκλεις, συνθεωρήσας

ἐκ πολλοῦ χρόνου τὴν ἀνθρωπίνην φύσιν, καὶ βεβιωκὼς ἔτη ἑβδομήκοντα ἐννέα, ἔτι δὲ ὡμιληκὼς πολλαῖς τε καὶ παντοδαπαῖς φύσεσι, καὶ παρατεθεαμένος ἐξ ἀκριβείας πολλῆς τούς τε ἀγαθοὺς τῶν ἀνθρώπων καὶ τοὺς φαύλους, ὑπέλαβον, δεῖν συγγράψαι, ἃ ἑκάτεροι αὐτῶν ἐπιτηδεύουσιν ἐν τῷ βίῳ. Ἐκθήσω δέ σοι κατὰ γένος, ὅσα τε τυγχάνει γένη τρόπων τούτοις προσκείμενα, καὶ ὃν τρόπον τῇ οἰκονομίᾳ χρῶνται. 3 Ὑπολαμβάνω γὰρ, ὦ πολύκλεις, τοὺς υἱεῖς ἡμῶν βελτίους ἔσεσθαι, καταλειφθέντων αὐτοῖς ὑπομνημάτων τοιούτων, οἷς παραδείγμασι χρώμενοι, αἱρήσονται, τοῖς εὐσχημονεστάτοις συνεῖναί τε καὶ ὁμιλεῖν, ὅπως μὴ καταδεέστεροι ὦσιν αὐτῶν. 4 Τρέψομαι δὲ ἤδη ἐπὶ τὸν λόγον; σὸν δὲ, παρακολουθῆσαί τε καὶ εἰδῆσαι, εἰ ὀρθῶς λέγω. πρῶτον μὲν οὖν ποιήσομαι τὸν λόγον ἀπὸ τῶν τὴν εἰρωνείαν ἐζηλωκότων, ἀφεὶς τὸ προοιμιάζεσθαι, καὶ πολλὰ περὶ τοῦ πράγματος λέγειν. Καὶ ἄρξομαι πρῶτον ἀπὸ τῆς εἰρωνείας, καὶ ὁρίουμαι αὐτήν, εἶθ' οὕτω τὸν εἴρωνα διέξειμι, ποῖός τις ἐστὶ, καὶ

εἰς

εἰς τίνα τρόπον κατενήνεκται: καὶ τὰ ἄλλα δὴ τῶν παθημάτων, ὥσπερ ὑπεθέμην, πειράσομαι, κατὰ γένος φανερὰ καταςῆσαι.

## I.

## ΠΕΡΙ ΕΙΡΩΝΕΙΑΣ.

Ἡ μὲν ὖν εἰρωνεία δόξειεν ἂν εἶναι, ὡς τύπῳ λαβεῖν, προσποίησις ἐπὶ χεῖρον πράξεων καὶ λόγων; ὁ δὲ εἴρων τοιῦτός τις, οἷος προσελθὼν τοῖς ἐχθροῖς, ἐθέλειν λαλεῖν, ὐ μισεῖν, καὶ ἐπαινεῖν παρόντας, οἷς ἐπέθετο λάθρα, καὶ τύτοις συλλυπεῖσθαι ἡττωμένοις, καὶ συγγνώμην δὲ ἔχειν τοῖς κακῶς αὐτὸν λέγυσι, καὶ ἐπὶ τοῖς καθ᾽ ἑαυτῦ λεγομένοις, καὶ πρὸς τὺς ἀδικυμένυς καὶ ἀγανακτῦντας πράως διαλέγεσθαι, 2
καὶ τοῖς ἐντυγχάνειν κατὰ σπυδὴν βυλομένοις προστάξαι ἐπανελθεῖν, καὶ μηδὲν, ὧν πράττει, ὁμολογῆσαι; ἀλλὰ φῆσαι, βυλεύσεσθαι: καὶ προσποιήσασθαι, ἄρτι παραγεγονέναι, καὶ ὀψὲ γενέσθαι αὐτὸν, καὶ

 μαλα-

μαλακισθῆναι: καὶ πρὸς τοὺς δανειζομένους καὶ ἐρανίζοντας, ὡς οὐ πωλεῖ; καὶ μὴ πωλῶν, φήσει, πωλεῖν: καὶ ἀκούσας τι, δόξει, μὴ προσποιεῖσθαι, καὶ ἰδὼν, φήσει, μὴ ἑωρακέναι, καὶ ὁμολογήσας, μὴ μεμνῆσθαι: καὶ τὰ μὲν 3 ἐσκέφθαι, φάσκειν, τὰ δὲ οὐκ εἰδέναι, τὰ δὲ θαυμάζειν, τὰ δὲ ἤδη ποτὲ καὶ αὐτὸς οὕτω διαλογίσασθαι: καὶ τὸ ὅλον δεινὸς, τῷ τοιούτῳ τρόπῳ τοῦ λόγου χρῆσθαι, οὐ πιστεύω; οὐχ ὑπολαμβάνω; ἐκπλήττομαι: καὶ λέγει, ἑαυτὸν ἕτερον γεγονέναι, καὶ μὴν οὐ ταῦτα πρὸς ἐμὲ διεξῄει, παράδοξόν μοι τὸ πρᾶγμα; ἄλλῳ τινὶ λέγε; ὅπως δέ σοι ἀπιστήσω, ἢ ἐκείνου καταγνῶ, ἀποροῦμαι. 4 Ἀλλ' ὅρα, μὴ σὺ θᾶττον πιστεύῃς τοιαύτας φωνὰς καὶ πλοκὰς καὶ παλιλλογίας, οὗ χεῖρον ἐστὶν εὑρεῖν οὐδέν: τὰ δὴ τῶν ἠθῶν μὴ ἁπλᾶ, ἀλλ' ἐπίβουλα, φυλάττεσθαι μᾶλλον δεῖ, ἢ τοὺς ἔχεις.

## II.

### ΠΕΡΙ ΚΟΛΑΚΕΙΑΣ.

Τὴν δὲ κολακείαν ὑπολάβοι ἄν τις ὁμιλίαν αἰσχρὰν εἶναι, συμφέρουσαν δὲ τῷ κολακεύοντι;

κεύοντι; τὸν δὲ κόλακα τοιϑτόν τινα, ὥςε πορευόμενον ἅμα εἰπεῖν: ἐνθυμῇ, ὡς ἀποβλέπϑσι πρὸς σὲ οἱ ἄνθρωποι; τϑτο ϑδενὶ τῶν ἐν τῇ πόλει γίνεται, πλὴν σοί: εὐδοκίμεις χθὲς ἐν τῇ σοᾷ: πλείονων γὰρ ἢ τριάκοντα ἀνθρώπων καθημένων, καὶ ἐμπεσόντος λόγϑ, τίς εἴη βέλτιςος, ἀπ᾽ αὐτϑ ἀρξαμένϑς πάντας, ἐπὶ τὸ ὄνομα αὐτϑ κατενεχθῆναι: καὶ ἄλλα τοιαῦτα λέγειν. 2 Ἀπὸ τϑ ἱματίϑ ἀφελεῖν κροκίδα, καὶ ἐάν τι πρὸς τὸ τρίχωμα τῆς κεφαλῆς ἀπὸ πνεύματος προσενεχθῇ ἄχυρον, καρφολογῆσαι, καὶ ἐπιγελάσας δὲ εἰπεῖν: ὁρᾷς? ὅτι δυεῖν σοι ἡμερῶν ϑκ ἐντετύχηκα, πολιῶν ἔσχηκας τὸν πώγωνα μεςόν, καίπερ, εἴ τις καὶ ἄλλος, ἔχεις πρὸς τὰ ἔτη μέλαιναν τὴν τρίχα: 3 καὶ λέγοντος δὲ αὐτϑ τι, τϑς ἄλλϑς σιωπᾶν κελεῦσαι, καὶ ἐπαινέσαι δὲ ἀκϑοντος, καὶ ἐπισημήνασθαι δὲ, εἰ παύσεται, ὀρθῶς: καὶ σκώψαντι πικρῶς ἐπιγελάσαι, τό τε ἱμάτιον ὦσαι εἰς τὸ ςόμα, ὡς δὴ ϑ δυνάμενος κατασχεῖν τὸν γέλωτα: καὶ τϑς ἀπαντῶντας ἐπιςῆναι κελεῦσαι, ἕως ἂν αὐτὸς παρέλθῃ: καὶ τοῖς παιδίοις μῆλα καὶ ἀπίϑς

πριάμενος, εἰσενέγκας δῦναι, ὁρῶντος αὐτῦ, καὶ φιλήσας δὲ εἰπεῖν, χρηςῦ πατρὸς νεόττια: 4 καὶ συνωνύμενος δὲ κρηπῖδας, τὸν πόδα φῆσαι εἶναι εὐρυθμότερον τῦ ὑποδήματος: καὶ πορευομένυ πρός τινα τῶν φίλων, προδραμὼν εἰπεῖν, ὅτι πρός σε ἔρχεται, καὶ ἀναςρέψας, ὅτι προσήγγελκα. Ἀμέλει δὲ καὶ τὰ ἐκ γυναικείας ἀγορᾶς διακονῆσαι δυνατὸς ἀπνευςί: καὶ τῶν ἑςιωμένων, πρῶτος ἐπαινέσαι τὸν οἶνον, καὶ παρακειμένων εἰπεῖν, ὡς μαλακῶς ἐσθίεις! καὶ ἄρας τι τῶν ἀπὸ τῆς τραπέζης, φῆσαι, τῦτι ἄρα ὡς χρηςόν ἐςι! καὶ ἐρωτῆσαι, μὴ ῥίγοῖ, καὶ εἰ ἐπιβαλέσθαι βύλεται, καὶ ἔτι περιςεῖλαι αὐτόν, 5 καὶ μὴν ταῦτα λέγων πρὸς τὸ ὗς προσπίπτων διαψιθυρίζειν, καὶ εἰς ἐκεῖνον ἀποβλέπων, τοῖς ἄλλοις λαλεῖν: καὶ τῦ παιδὸς ἐν τῷ θεάτρῳ ἀφελόμενος τὰ προσκεφάλαια, αὐτὸς ὑποςρῶσαι: καὶ τὴν οἰκίαν φῆσαι εὖ ἠρχιτεκτονῆσθαι, καὶ τὸν ἀγρὸν εὖ πεφυτεῦσθαι, καὶ τὴν εἰκόνα ὁμοίαν εἶναι: καὶ τὸ κεφάλαιον, τὸν κόλακά ἐςι θεάσασθαι πάντα καὶ λέγοντα καὶ πράττοντα, οἷς χαριεῖσθαι ὑπολαμβάνει.

III.

# III.

## ΠΕΡΙ ΑΔΟΛΕΣΧΙΑΣ.

Ἡ δὲ ἀδολεσχία ἐςὶ μὲν διήγησις λόγων μακρῶν καὶ ἀπροϐϐλεύτων; ὁ δὲ ἀδολέσχης, τοιȣ̃τός ἐςιν, οἷος ὃν μὴ γινώσκει, τȣ́τῳ παρακαθεζόμενος πλησίον, πρῶτον μὲν τῆς ἑαυτȣ̃ γυναικὸς εἰπεῖν ἐγκώμιον, εἶτα, ὃ τῆς νυκτὸς εἶδεν ἐνύπνιον, τȣ̃το διηγήσασθαι, εἶθ' ὧν εἶχεν ἐπὶ τῷ δείπνῳ, τὰ καθέκαςα διεξελθεῖν, 2 εἶτα δὴ, προχωρȣ̃ντος τȣ̃ πράγματος, λέγειν, ὡς πολὺ πονηρότεροί εἰσιν οἱ νῦν ἄνθρωποι τῶν ἀρχαίων, καὶ ὡς ἄξιοι γεγόνασιν οἱ πυροὶ ἐν τῇ ἀγορᾷ, καὶ ὡς πολλοὶ ἐπιδημȣ̃σι ξένοι, καὶ τὴν θάλατταν ἐκ Διονυσίων πλώιμον εἶναι, καὶ, εἰ ποιήσειεν ὁ Ζεὺς ὕδωρ, τὰ ἐν τῇ γῇ βελτίω ἔσεσθαι, καὶ, ὅτι ἀγρὸν εἰς νέωτα γεωργήσει, καὶ ὡς χαλεπόν ἐςι τὸ ζῆν, καὶ, ὡς Δάμιππος μυςηρίοις μεγίςην δᾷδα ἔςησε, καὶ, πόσοι εἰσὶ κίονες τȣ̃ Ὠιδείȣ, καὶ, χθὲς ἤμεσα, καὶ, τίς ἐςὶν ἡμέρα σήμερον; 3 κἂν ὑπομένῃ τὶς αὐτὸν, μὴ ἀφίςασθαι: καὶ ὡς Βοηδρομιῶνος μέν ἐςι τὰ μυςήρια;

πυανε-

πυανεψιῶνος δὲ Ἀπατούρια· ποσειδεῶνος δὲ τὰ κατ' ἀγροὺς Διονύσια. παρασείσαντα δὲ χρὴ τοὺς τοιούτους τῶν ἀνθρώπων καὶ διαράμενον ἀπαλλάττεσθαι, ὅστις ἀπύρετος βούλεται εἶναι· ἔργον γὰρ συναρκεῖσθαι τοῖς μήτε σχολήν, μήτε σπουδὴν διαγινώσκουσιν.

## IIII.

### ΠΕΡΙ ΑΓΡΟΙΚΙΑΣ.

Ἡ δὲ ἀγροικία δόξειεν ἂν εἶναι ἀμαθία ἀσχήμων· ὁ δὲ ἄγροικος, τοιοῦτός τις, οἷος κυκεῶνα πιὼν εἰς ἐκκλησίαν πορεύεσθαι, καὶ τὸ μύρον φάσκειν οὐδὲν τοῦ θύμου ἥδιον ὄζειν, καὶ μείζω τοῦ ποδὸς τὰ ὑποδήματα φορεῖν, καὶ μεγάλῃ τῇ φωνῇ λαλεῖν, καὶ τοῖς μὲν φίλοις καὶ οἰκείοις ἀπιστεῖν· πρὸς δὲ τοὺς αὐτοῦ οἰκέτας ἀνακοινοῦσθαι περὶ τῶν μεγίστων, καὶ τοῖς παρ' αὐτῷ ἐργαζομένοις μισθωτοῖς ἐν ἀγρῷ πάντα τὰ ἀπὸ τῆς ἐκκλησίας διηγεῖσθαι,
2 καὶ ἀναβεβλημένος ἄνω τοῦ γόνατος, καθιζάνειν, ὥστε τὰ γυμνὰ αὐτοῦ ὑποφαίνεσθαι, καὶ ἐπ' ἄλλῳ μὲν μηδενὶ θαυμάζειν, μήτε ἐκπλήττεσθαι ἐν ταῖς ὁδοῖς· ὅταν δὲ ἴδῃ βοῦν,

ἢ ὄνον,

ἢ ὄνον, ἢ τράγον, ἑστηκὼς θεωρεῖν, καὶ προ-
αιρῶν δέ τι ἐκ τοῦ ταμείου, δεινῶς φαγεῖν,
καὶ ζωρότερον πιεῖν, καὶ τὴν σιτοποιὸν πειρῶν
λαθεῖν, κᾆτ' ἀλέσαι μετ' αὐτῆς τοῖς ἔνδον
πᾶσι καὶ αὑτῷ τὰ ἐπιτήδεια, καὶ ἀριστῶν δὲ
ἅμα τοῖς ὑποζυγίοις ἐμβαλεῖν τὸν χόρτον, 3
καὶ κόψαντος τὴν θύραν ἐπακοῦσαι αὐτός,
καὶ τὸν κύνα προσκαλεσάμενος, καὶ ἐπι-
λαβόμενος τοῦ ῥύγχους, εἰπεῖν: οὗτος φυ-
λάττει τὸ χωρίον καὶ τὴν οἰκίαν, καὶ τοὺς
ἔνδον: καὶ τὸ ἀργύριον δὲ παρά του λαβὼν ἀ-
ποδοκιμάζειν, λίαν μὲν λυπρὸν εἶναι, καὶ ἕ-
τερον ἅμα ἀλλάττεσθαι, καὶ ὃ ἄροτρον ἔ-
χρησεν, ἢ κόφινον, ἢ δρέπανον, ἢ θύλακον,
ταῦτα τῆς νυκτὸς κατὰ ἀγρυπνίαν ἀνα-
μιμνησκόμενος: 4 καὶ εἰς ἄστυ καταβαί-
νων, ἐρωτῆσαι τὸν ἀπαντῶντα, πόσου ἦ-
σαν αἱ διφθέραι καὶ τὸ τάριχος, καὶ εἰ
σήμερον ὁ ἀγὼν νουμηνίαν ἄγει. καὶ εἰ-
πεῖν, εὐθὺς ὅτι βούλεται καταβὰς ἀπο-
κείρασθαι, καὶ ἐν βαλανείῳ δὲ ᾆσαι, καὶ
εἰς τὰ ὑποδήματα δὲ ἥλους ἐγκροῦσαι, καὶ τῆς
αὐτῆς ὁδοῦ παριὼν κομίσασθαι ἀπὸ Βραχίο-
νος παρ' Ἀρχίου τοὺς ταρίχους.

## V.

## ΠΕΡΙ ΑΡΕΣΚΕΙΑΣ.

Ἡ δὲ ἀρέσκεια ἐστὶ μὲν, ὡς ὅρῳ περιλαβεῖν, ἔντευξις οὐκ ἐπὶ τῷ βελτίστῳ ἡδονῆς παρασκευαστική; ὁ δὲ ἄρεσκος ἀμέλει τοιοῦτός τις, οἷος πόῤῥωθεν προσαγορεύσας, καὶ ἄνδρα κράτιστον εἰπὼν, καὶ θαυμάσας ἱκανῶς, ἀμφοτέραις ταῖς χερσὶ μὴ ἀφιέναι, καὶ μικρὸν προπέμψας, καὶ ἐρωτήσας, πότε αὐτὸν ὄψεται, ἔτι ἐπαινῶν ἀπαλλάττεσθαι: 2 καὶ παρακληθεὶς δὲ πρὸς δίαιταν, μὴ μόνον, ᾧ πάρεστι, βούλεσθαι ἀρέσκειν; ἀλλὰ καὶ τῷ ἀντιδίκῳ, ἵνα κοινὸς εἶναι δοκῇ: καὶ τοὺς ξένους δὲ εἰπεῖν, ὡς δικαιότερα λέγουσι τῶν πολιτῶν: καὶ κεκλημένος δὲ ἐπὶ δεῖπνον, κελεῦσαι καλέσαι τὰ παιδία τὸν ἑστιῶντα, καὶ εἰσιόντα φῆσαι, σύκου ὁμοιότερα εἶναι τῷ πατρί, καὶ προσαγαγόμενος, φιλῆσαι, καὶ παρ' αὐτὸν καθίσαι, καὶ τοῖς μὲν συμπαίζειν αὐτὸς, λέγων: ἀσκὸς, πέλεκυς, τὰ δὲ ἐπὶ τῆς γαστρὸς ἐᾷν καθεύδειν, ἅμα θλιβόμενος: 3 καὶ πλειστάκις δὲ ἀποκείρασθαι, καὶ τοὺς ὀδόντας λευκοὺς ἔχειν, καὶ τὰ ἱμάτια

δὲ

δὲ χρηςὰ μεταβάλλεσθαι, καὶ χρίσμασι ἀλείφεσθαι, καὶ τῆς μὲν ἀγορᾶς πρὸς τὰς τραπέζας προσφοιτᾷν, τῶν δὲ γυμνασίων ἐν τούτοις διατρίβειν, οὗ ἂν ἔφηβοι γυμνάζωνται, τοῦ δὲ θεάτρου καθῆσθαι, ὅταν ᾖ θέα, πλησίον τῶν ςρατηγῶν, καὶ ἀγοράζειν αὐτῷ μὲν μηδὲν· ξένοις δὲ εἰς Βυζάντιον ἐπιςάλματα, καὶ Λακωνικὰς κύνας εἰς Κύζικον, καὶ μέλι Ὑμήττιον εἰς Ῥόδον· καὶ ταῦτα ποιῶν, τοῖς ἐν τῇ πόλει διηγεῖσθαι. 4 Ἀμέλει δὲ καὶ πίθηκον θρέψαι δεινὸς, καὶ τίτυρον κτήσασθαι, καὶ Σικελικὰς περιςερὰς, καὶ δορκαδείους ἀςραγάλους, καὶ Θυριακὰς τῶν ςρογγύλων ληκύθους, καὶ βακτηρίας τῶν σκολιῶν ἐκ Λακεδαίμονος, καὶ αὐλαίαν ἔχουσαν Πέρσας ἐνυφασμένους, καὶ αὐλίδιον παλαιςρικὸν κόνιν ἔχον, καὶ σφαιριςήριον, καὶ τοῦτο περιϊὼν χρᾷν ἀεὶ τοῖς φιλοσόφοις, τοῖς σοφιςαῖς, τοῖς ὁπλομάχοις, τοῖς ἁρμονικοῖς, ἐπιδείκνυσθαι, καὶ αὐτὸς ἐν ταῖς ἐπιδείξεσιν ὕςερον εἰπεῖν, ἐπὶ τῶν θεωμένων, πρὸς ἕτερον, ὅτι τούτου ἐςὶν ἡ παλαίςρα.

VI.

ΠΕΡΙ ΑΠΟΝΟΙΑΣ.

Ἡ δὲ ἀπόνοιά ἐστιν ὑπομονὴ αἰσχρῶν ἔργων καὶ λόγων; ὁ δὲ ἀπονενοημένος τοιοῦτός τις, οἷος ὀμόσαι ταχὺ, κακῶς ἀκοῦσαι, καὶ λοιδορηθῆναι δυνάμενος: τῷ ἤθει ἀγοραῖός τις, καὶ ἀνασεσυρμένος, καὶ παντοποιός. Ἀμέλει δυνατὸς καὶ ὀρχεῖσθαι νήφων τὸν κόρδακα, καὶ προσωπεῖον οὐκ ἔχων ἐν κωμικῷ χορῷ, 2 καὶ ἐν θαύμασι δὲ τοὺς χαλκοὺς ἐκλέγειν, καθ' ἕκαστον παριών, καὶ μάχεσθαι τοῖς τὸ σύμβολον φέρουσι, καὶ προῖκα θεωρεῖν ἀξιοῦσι. Δεινὸς δὲ καὶ πανδοκεῦσαι, καὶ πορνοβοσκῆσαι, καὶ τελωνῆσαι, καὶ μηδεμίαν αἰσχρὰν ἐργασίαν ἀποδοκιμάσαι, ἀλλὰ κηρύττειν, μαγειρεύειν, κυβεύειν, τὴν μητέρα μὴ τρέφειν, ἀπάγεσθαι κλοπῆς, τὸ δεσμωτήριον πλείω χρόνον οἰκεῖν, ἢ τὴν αὑτοῦ οἰκίαν. 3 Καὶ τοῦτο δ' ἂν εἶναι δόξειε τῶν περιϊσαμένων τοὺς ὄχλους, καὶ προσκαλούντων, μεγάλῃ τῇ φωνῇ καὶ παρεῤῥωγυίᾳ διαλεγομένων πρὸς αὐτοὺς καὶ λοιδορουμένων: καὶ μεταξὺ οἱ μὲν προσίασιν, οἱ δὲ ἀπίασι, πρὶν ἀκοῦσαι αὐτοῦ;

αὐτῦ; ἀλλὰ τοῖς μὲν ἀρχὴν, τοῖς δὲ συλλαβὴν, τοῖς δὲ μέρος τῦ πράγματος λέγει, ὐκ ἄλλως θεωρεῖσθαι ἀξιῶν τὴν ἀπόνοιαν αὐτῦ, ἢ ὅταν ᾖ πανήγυρις. 4 Ἱκανὸς δὲ καὶ δίκας τὰς μὲν φεύγειν, τὰς δὲ διώκειν, τὰς δὲ ἐξόμνυσθαι, ταῖς δὲ παρεῖναι ἔχων ἐχῖνον ἐν τῷ προκολπίῳ, καὶ ὁρμαθὺς γραμματιδίων ἐν ταῖς χερσίν, ὐκ ἀποδοκιμάζων δὲ ὐδ᾽ ἅμα πολλῶν ἀγοραίων στρατηγεῖν, καὶ εὐθὺς τύτοις δανείζειν, καὶ τῆς δραχμῆς τόκον τρία ἡμιωβόλια τῆς ἡμέρας πράττεσθαι, καὶ ἐφοδεύειν τὰ μαγειρεῖα, τὰ ἰχθυοπωλεῖα, τὰ ταριχοπωλεῖα, καὶ τὺς τόκυς ἀπὸ τῦ ἐμπολήματος εἰς τὴν γνάθον ἐκλέγειν. 5 Ἐργώδεις δὲ εἰσὶ τὸ στόμα εὔλυτον ἔχοντες πρὸς λοιδορίαν, καὶ φθεγγόμενοι μεγάλῃ τῇ φωνῇ, ὡς συνηχεῖν αὐτοῖς τὴν ἀγορὰν καὶ τὰ ἐργαστήρια.

## VII.

### ΠΕΡΙ ΛΑΛΙΑΣ.

Ἡ δὲ λαλιὰ, εἴ τις αὐτὴν ὁρίζεσθαι βύλοιτο, εἶναι ἂν δόξειεν ἀκρασία τῦ λόγυ; ὁ

δὲ λάλος τοιῦτός τις, οἷος τῷ ἐντυγχάνοντι εἰπεῖν, ἂν ὁτιοῦν πρὸς αὐτὸν φθέγξηται, ὅτι οὐδὲν λέγει, καὶ ὅτι αὐτὸς πάντα οἶδε, καὶ, ἂν ἀκούῃ αὐτοῦ, μαθήσεται. Καὶ μεταξὺ δὲ ἀποκρινομένῳ ὑποβάλλει: εἴπας σὺ, μὴ ἐπιλάθῃ, ὃ μέλλεις λέγειν, καὶ, εὖγε ὅτι με ὑπέμνησας, 2 καὶ, τὸ λαλεῖν ὡς χρήσιμόν που! καὶ ὃ παρέλιπον, καὶ, ταχύ γε συνήκας τὸ πρᾶγμα, καὶ, πάλαι σέ παρετήρουν, εἰ ἐπὶ τὸ αὐτὸ ἐμοὶ κατενεχθήσῃ: καὶ ἑτέρας ἀφορμὰς τοιαύτας πορίσασθαι, ὥστε μηδὲ ἀναπνεῦσαι τὸν ἐντυγχάνοντα. Καὶ ὅταν γε τοὺς καθ' ἕνα ἀποκναίσῃ, δεινὸς καὶ ἐπὶ τοὺς ἀθρόους καὶ συνεστηκότας πορευθῆναι, καὶ φυγεῖν ποιῆσαι μεταξὺ χρηματίζοντας. 3 Καὶ εἰς τὰ διδασκαλεῖα δὲ καὶ εἰς τὰς παλαίστρας εἰσιὼν, κωλύειν τοὺς παῖδας προμανθάνειν τοσαῦτα, καὶ προσλαλεῖν τοῖς παιδοτρίβαις καὶ διδασκάλοις. Καὶ τοὺς ἀπιέναι φάσκοντας δεινὸς προπέμψαι, καὶ ἀποκαταστῆσαι εἰς τὴν οἰκίαν: καὶ πυθόμενος τὰς ἐκκλησίας ἀπαγγέλλειν, 4 προσδιηγήσασθαι δὲ καὶ τὴν ἐπ' Ἀριστοφῶντός ποτε γενομένην τοῦ ῥήτορος μάχην, καὶ τὴν τῶν

Λακε-

λακεδαιμονίων ἐπὶ Λυσάνδρου, καὶ οὓς ποτε λόγους αὐτὸς εἶπεν εὐδοκιμήσας ἐν τῷ δήμῳ. Καὶ κατὰ τῶν πληθῶν γε ἅμα διηγούμενος κατηγορίαν παρεμβαλεῖν, ὥστε τοὺς ἀκούοντας ἤτοι ἐπιλαθέσθαι, ἢ νυστάξαι, ἢ μεταξὺ καταλιπόντας ἀπαλλάττεσθαι. 5 Καὶ συνδικάζων δὲ, κωλῦσαι κρῖναι: καὶ συνθεωρῶν, θεάσασθαι: καὶ συνδειπνῶν, φαγεῖν, λέγων ὅτι χαλεπὸν τῷ λάλῳ ἐστὶ σιωπᾶν, καὶ ὡς ἐν ὑγρῷ ἐστιν ἡ γλῶττα, καὶ ὡς οὐκ ἂν σιωπήσειεν, οὐδ' εἰ τῶν χελιδόνων δόξειεν ἂν εἶναι λαλίστερος. Καὶ σκωπτόμενος ὑπομεῖναι καὶ ὑπὸ τῶν αὐτοῦ παιδίων, ὅταν αὐτὸν ἤδη καθεύδειν βουλόμενον κελεύῃ, λέγοντα ταῦτα, λαλεῖν τι ἡμῖν, ὅπως ἂν ἡμᾶς ὕπνος λάβῃ.

## VIII.

### ΠΕΡΙ ΛΟΓΟΠΟΙΙΑΣ.

Ἡ δὲ λογοποιΐα ἐστὶ σύνθεσις ψευδῶν λόγων καὶ πράξεων, ὧν βούλεται ὁ λογοποιῶν; ὁ δὲ λογοποιὸς τοιοῦτός τις, οἷος ὑπαντήσας τῷ φίλῳ, εὐθὺς καταβαλὼν τὸ ἦθος, καὶ μειδιά-

μειδιάσας, ἐρωτῆσαι, πόθεν σὺ, καὶ τί λέγεις? καὶ πῶς? ἔχεις περὶ τοῦδε εἰπεῖν καινόν? καὶ ἐπιβαλὼν ἐρωτᾷν, μὴ λέγεταί τι καινότερον? καὶ μὴν ἀγαθά γε ἐςι τὰ λεγόμενα? καὶ οὐκ ἐάσας ἀποκρίνεσθαι, εἰπεῖν, τί λέγεις? οὐδὲν ἀκήκοας? δοκῶ μοὶ σὲ εὐωχήσειν καινῶν λόγων: καὶ ἔςιν αὐτῷ ἢ ςρατιώτης, ἢ παῖς Ἀςείου τοῦ αὐλητοῦ, ἢ Λύκων ὁ ἐργολάβος παραγεγονὼς ἐξ αὐτῆς τῆς μάχης, οὗ φησὶν ἀκηκοέναι. 2 Αἱ μὲν οὖν ἀναφοραὶ τῶν λόγων τοιαῦταί εἰσιν αὐτοῦ, ὧν οὐδεὶς ἂν ἔχοι ἐπιλαβέσθαι. Διηγεῖται δὲ τούτους φάσκων λέγειν, ὡς Πολυσπέρχων καὶ ὁ βασιλεὺς μάχῃ νενίκηκε, καὶ Κάσανδρος ἐζώγρηται: κἂν εἴπῃ τὶς αὐτῷ: σὺ δὲ ταῦτα πιςεύεις? φήσει, τὸ πρᾶγμα βοᾶσθαι γὰρ ἐν τῇ πόλει, καὶ τὸν λόγον ἐπεντείνειν, καὶ πάντα συμφωνεῖν, ταὐτὰ γὰρ λέγειν περὶ τῆς μάχης, καὶ πολὺν τὸν ζωμὸν γεγονέναι: εἶναι δὲ αὐτῷ καὶ σημεῖον τὰ πρόσωπα τῶν ἐν τοῖς πράγμασιν, ὁρᾷν γὰρ αὐτῶν πάντων μεταβεβληκότα. 3. λέγει δ', ὡς καὶ παρακήκοε παρὰ τούτοις κρυπτόμενόν τινα ἐν οἰκίᾳ, ἤδη πέμπτην ἡμέραν ἥκοντα ἐκ Μακεδονίας,

δονίας, ὃς πάντα ταῦτα εἶδε: καὶ πάντα διεξιὼν, (πῶς οἴεσθε?) πιθανῶς σχετλιάζει, λέγων, δυςυχὴς Κάσανδρος! ὦ ταλαίπωρος! ἐνθυμῆ τὸ τῆς τύχης? ἀλλ' ἂν ἰσχυρὸς γενόμενος, καὶ δεῖ δὲ αὐτὸ σὲ μόνον εἰδέναι; πᾶσι δὲ τοῖς ἐν τῇ πόλει προσδεδράμηκε λέγων. 4 τῶν τοιούτων ἀνθρώπων τεθαύμακα, τί ποτε βούλονται λογοποιοῦντες: οὐ γὰρ μόνον ψεύδονται; ἀλλὰ καὶ ἀλυσιτελῶς ἀπαλλάττουσι. πολλάκις γὰρ αὐτῶν οἱ μὲν τοῖς βαλανείοις περιςάσεις ποιούμενοι, τὰ ἱμάτια αποβεβλήκασιν, οἱ δ' ἐν τῇ σοᾷ πεζομαχίᾳ. καὶ ναυμαχίᾳ νικῶντες, ἐρήμους δίκας ὠφλήκασι; εἰσὶ δ', οἱ καὶ πόλεις λόγῳ κατὰ κράτος αἱροῦντες, παρεδειπνήθησαν. 5. πάνυ δὲ ταλαίπωρον αὐτῶν ἐςι τὸ ἐπιτήδευμα: ποίᾳ γὰρ οὐ σοᾷ, ποίῳ δὲ ἐργαςηρίῳ, ποίῳ δὲ μέρει τῆς ἀγορᾶς οὐ διημερεύουσιν? ἀπαυδᾷν ποιοῦντες τοὺς ἀκούοντας οὕτως, καὶ καταπονοῦντες ταῖς ψευδολογίαις.

## VIIII.

### ΠΕΡΙ ΑΝΑΙΣΧΥΝΤΙΑΣ.

Ἡ δὲ ἀναισχυντία ἐςὶ μὲν, ὡς ὅρῳ λαβεῖν, καταφρόνησις δόξης, αἰσχροῦ ἕνεκα κέρδους; ὁ δὲ ἀναίσχυντος τοιοῦτος, οἷος, πρῶτον μὲν ὃν ἀποςερεῖ, πρὸς τοῦτον ἀπελθὼν δανείζεσθαι: εἶτα θύσας τοῖς θεοῖς, αὐτὸς μὲν δειπνεῖν παρ᾽ ἑτέρῳ; τὰ δὲ κρέα ἀποτιθέναι ἁλσὶ πάσας: καὶ προσκαλεσάμενος τὸν ἀκόλουθον, δοῦναι, ἀπὸ τῆς τραπέζης ἄρας κρέας καὶ ἄρτον, καὶ εἰπεῖν ἀκουόντων πάντων: εὐωχοῦ τίμιε! 2 καὶ ὀψωνῶν δὲ, ὑπομιμνήσκειν τὸν κρεωπώλην, εἴ τι χρήσιμος αὐτῷ γέγονε, καὶ ἑςηκὼς πρὸς τῷ ςαθμῷ, μάλιςα μὲν κρέας, εἰ δὲ μὴ, ὀςοῦν εἰς τὸν ζωμὸν ἐμβάλλειν, καὶ ἐὰν μὲν λάβῃ, εὖ ἔχει; εἰ δὲ μὴ, ἁρπάσας ἀπὸ τῆς τραπέζης χολίκιον, ἅμα γελῶν ἀπαλλάττεσθαι: καὶ ξένοις δὲ αὐτοῦ θέαν ἀγοράσας, μὴ δοὺς τὸ μέρος, θεωρεῖν, ἄγειν δὲ καὶ τοὺς υἱεῖς εἰς την ὑςεραίαν, καὶ τὸν παιδαγωγόν. 3 Καὶ ὅσα ἐωνημένος ἄξιά τις φέρει, μεταδοῦναι κελεῦσαι καὶ αὐτῷ, καὶ ἐπὶ τὴν ἀλλοτρίαν οἰκίαν ἐλθὼν, δανεί-

ζεσθαι

Univ. Bibl.

ζεσθαι κριθὰς, ποτὲ δὲ ἄχυρον, καὶ ταῦτα χρήσαντας, ἀναγκάσαι ἀποφέρειν πρὸς αὐτόν. Δεινὸς δὲ καὶ πρὸς τὰ χαλκεῖα τὰ ἐν τῷ βαλανείῳ προσελθὼν, καὶ βάψας ἀρύταιναν, βοῶντος τȣ̃ βαλανέως, αὐτὸς αὐτȣ̃ καταχέασθαι, καὶ εἰπεῖν, ὅτι λέλȣται, ἀπιὼν, κᾀκεῖ, οὐδεμία σοι χάρις.

## X.

### ΠΕΡΙ ΜΙΚΡΟΛΟΓΙΑΣ.

Ἡ δὲ μικρολογία ἐςὶ φειδωλία τȣ̃ διαφόρȣ ὑπὲρ τὸν καιρόν; ὁ δὲ μικρολόγος τοιȣ̃τός τις, οἷος ἐν τῷ μηνὶ ἡμιωβόλιον ἀπαιτεῖν ἐπὶ τὴν οἰκίαν, καὶ συσσιτῶν ἀριθμεῖν τε κύλικας, ὅσας ἕκαςος πέπωκε, καὶ ἀπάρχεσθαι ἐλάχιςον τῇ Ἀρτέμιδι τῶν συνδειπνȣ́ντων, καὶ ὅσα μικρȣ̃ τις πριάμενος λογίζεται, πάντα φάσκειν εἶναι ἄγαν. 2 Καὶ οἰκέτȣ χύτραν ἢ λοπάδα κατάξαντος, εἰσπρᾶξαι ἀπὸ τῶν ἐπιτηδείων, καὶ τῆς γυναικὸς ἀποβαλȣ́σης τρίχαλκον, οἷος μεταφέρειν τὰ σκεύη, καὶ τὰς κλίνας, καὶ τὰς κιβωτȣ̀ς, καὶ διφᾶν τὰ καλύμματα: καὶ ἐάν τι πωλῇ, τοσȣ́τȣ

αὐτοῦ ἀποδόσθαι, ὥστε μὴ λυσιτελεῖν τῷ πριαμένῳ. Καὶ οὐκ ἂν ἐάσαι οὔτε συκοτραγῆσαι ἐκ τοῦ αὐτοῦ κήπου, οὔτε διὰ τοῦ αὐτοῦ ἀγροῦ πορευθῆναι, οὔτε ἐλάιαν ἢ φοίνικα τῶν χαμαὶ πεπτωκότων ἀνελέσθαι, καὶ τοὺς ὅρους δὲ ἐπισκοπεῖσθαι ὁσημέραι, εἰ διαμένουσιν οἱ αὐτοί. 3 Δεινὸς δὲ καὶ ὑπερημερίαν πρᾶξαι, καὶ τόκον τόκου: καὶ ἑστιῶν τοὺς δημότας, μικρὰ τὰ κρέα κόψας παραθεῖναι, καὶ ὀψωνῶν, μηδὲν πριάμενος εἰσελθεῖν, καὶ ἀπαγορεῦσαι τῇ γυναικὶ, μήτε ἅλας χρωννύειν, μήτε ἐλλύχνιον, μήτε κύμινον, μήτε ὀρίγανον, μήτε οὐλὰς, μήτε στέμματα, μήτε θυλήματα; ἀλλὰ λέγειν, ὅτι τὰ μικρὰ ταῦτα πολλά ἐστι τοῦ ἐνιαυτοῦ. 4 Καὶ τὸ ὅλον δὲ, τῶν μικρολόγων καὶ τὰς ἀργυροθήκας ἐστὶν ἰδεῖν εὐρωτιώσας καὶ κλεῖς ἰωμένας: καὶ αὐτοὺς δὲ φοροῦντας ἐλάττω τῶν μικρῶν τὰ ἱμάτια, καὶ ἐκ ληκυθίων μικρῶν πάνυ ἀλειφομένους, καὶ ἐν χρῷ κειρομένους, καὶ τὸ μέσον τῆς ἡμέρας ὑπολυομένους, καὶ πρὸς τοὺς γναφεῖς διατεινομένους, ὅπως τὸ ἱμάτιον αὐτοῖς ἕξει πολλὴν γῆν, ἵνα μὴ ῥυπαίνηται ταχύ.

## XI.

### ΠΕΡΙ ΒΔΕΛΥΡΙΑΣ.

οὐ χαλεπὸν δὲ ἐςὶ, τὴν βδελυρίαν διορίσασθαι: ἔςι γὰρ παιδιὰ ἐπιφανὴς καὶ ἐπονείδιςος; ὁ δὲ βδελυρὸς τοιῦτος, οἷος, ὑπαντήσας γυναιξὶν ἐλευθέραις, ἀνασυράμενος δεῖξαι τὸ αἰδοῖον: καὶ ἐν θεάτρῳ κροτεῖν, ὅταν οἱ ἄλλοι παύωνται, καὶ συρίττειν, οὓς ἡδέως θεωρῦσιν οἱ λοιποί: καὶ ὅταν σιωπήσῃ τὸ θ'ατρον, ἀνακύψας ἐρυγεῖν, ἵνα τὺς καθημένυς ποιήσῃ μεταςροφῆναι: 2 καὶ πληθύσης τῆς ἀγορᾶς προσελθὼν πρὸς τὰ κάρυα, ἢ τὰ μῆλα, ἢ τὰ ἀκρόδρυα, ἑςηκὼς τραγηματίζεσθαι ἅμα τῷ πωλῦντι προσλαλῶν: καί καλέσαι δὲ τῶν παριόντων ὀνοματί τινα, ᾧ μὴ συνήθης ἐςί: καὶ σπεύδοντα δέ πυ ὁρῶν, περιμεῖναι κελεῦσαι: καὶ ἡττωμένῳ δὲ μεγάλην δίκην ἀπιόντι ἀπὸ τῦ δικαςηρίυ προσελθεῖν, καὶ συνησθῆναι: καὶ ὀψωνεῖν ἑαυτὸν, καὶ αὐλητρίδας μισθῦσθαι: καὶ δεικνύειν δὲ τοῖς ἀπαντῶσι τὰ ὠψωνημένα, καὶ παρακαλεῖν ἐπὶ ταῦτα: 3. καὶ διηγεῖσθαι προσὰς πρὸς κυρεῖον, ἢ μυροπώλιον, ὅτι με-

θύσκεσθαι μέλλει: καὶ οἰνοπωλῶν κεκραμένον τὸν οἶνον τῷ φίλῳ ἀποδόσθαι: καὶ ἐπὶ θέαν, ἡνίκα ἂν δέῃ, μὴ πορεύεσθαι, ἀπιὼν τοῖς υἱοῖς, ἡνίκα προῖκα ἀφιᾶσιν εἰ θεατρῶναι: καὶ ἀποδημῶν δημοσίᾳ, τὸ μὲν ἐκ τῆς πόλεως ἐφόδιον οἴκοι καταλιπεῖν; παρὰ δὲ τῶν συμπρεσβευτῶν δανείζεσθαι: 4 καὶ τῷ ἀκολούθῳ ἐπιθεῖναι μεῖζον φορτίον, ἢ δύναται φέρειν, καὶ ἐλάχιστα ἐπιτήδεια τῶν ἱκανῶν: καὶ ἀπὸ τῶν ξενίων τὸ μέρος τὸ αὐτοῦ ἀπαιτήσας ἀποδόσθαι: καὶ ἀλειφόμενος ἐν τῷ βαλανείῳ, καὶ εἰπὼν, σαπρόν γε τὸ ἔλαιον ἐπρίω, τῷ παιδαρίῳ, τῷ αλλοτρίῳ ἀλείφεσθαι: καὶ τῶν ευρισκομένων χαλκῶν ἐν ταῖς ὁδοῖς ὑπὸ τῶν οἰκετῶν, δεινὸς ἀπαιτῆσαι τὰ μέρος, κοινὸν εἶναι φήσας τὸν Ἑρμῆν. 5. τὰ δὲ δὴ τοιαῦτα. Φειδωνίῳ μέτρῳ τὸν πύνδακα ἐγκεκρουσμένῳ μετρεῖν αὐτὸς, τοῖς ἔνδον τὰ ἐπιτήδεια, σφόδρα ἀποψῶν, ὑποπρίασθαι φίλου καὶ λαβὼν ἀποδόσθαι. Ἀμέλει δὲ καὶ χρέος ἀποδιδοὺς τετταράκοντα μνῶν, ἔλαττον τέτρασι δραχμαῖς ἀποδιδόναι: καὶ φράτορας ἑςιῶν, αἰτεῖν τοῖς αὐτοῦ παισὶν ἐκ τοῦ κοινοῦ ὄψον; τὰ δὲ καταλειπόμενα ἀπὸ τῆς τραπέζης ἡμίση

τῶν

τῶν ῥαφανίδων ἀπογράφεσθαι, ἵνα οἱ διακονοῦντες παῖδες μὴ λάβωσιν.

## XII.

### ΠΕΡΙ ΑΚΑΙΡΙΑC.

Ἡ μὲν οὖν ἀκαιρία ἐστὶν ἐπίτευξις λυποῦσα τοὺς ἐντυγχάνοντας; ὁ δὲ ἄκαιρος τοιοῦτός τις, οἷος ἀσχολουμένῳ προσελθὼν ἀνακοινοῦσθαι, καὶ πρὸς τὴν αὑτοῦ ἐρωμένην κωμάζειν πυρέττουσαν: καὶ δίκην ὠφληκότα ἐγγύης προσελθὼν, κελεῦσαι αὐτὸν ἀναδέξασθαι: καὶ μαρτυρήσων παρεῖναι, τοῦ πράγματος ἤδη κεκριμένου: καὶ κεκλημένος εἰς γάμους, τοῦ γυναικείου γένους κατηγορεῖν: καὶ ἐκ μακρᾶς ὁδοῦ ἥκοντας ἄρτι παρακαλεῖν εἰς περίπατον. 2 Δεινὸς δὲ καὶ προσάγειν ὠνητὴν πλείω διδόντα ἤδη πεπρακότι: καὶ ἀκηκοότας καὶ μεμαθηκότας ἀνίστασθαι ἐξ ἀρχῆς διδάσκων: καὶ πρόθυμος δὲ ἐπιμεληθῆναι, ἃ μὴ βούλεταί τις γενέσθαι; αἰσχύνεται δὲ ἀπείπασθαι: καὶ θύοντας καὶ ἀναλίσκοντας ἥκειν τόμον ἀπαιτήσων: 3 καὶ μαστιγουμένου οἰκέτου παρεστὼς, διηγεῖσθαι, ὅτι καὶ αὑτοῦ ποτε παῖς

οὕτω

ὅτω πληγὰς λαβὼν ἀπήγξατο: καὶ παρὼν διαίτῃ, συγκρῦειν, ἀμφοτέρων βϐλομένων διαλύεσθαι: καὶ ὀρχησάμενος ἅψασθαι ἑταίρȣ μηδέπω μεθύοντος.

## XIII.

### ΠΕΡΙ ΠΕΡΙΕΡΓΙΑΣ.

Ἀμέλει περιεργία δόξειεν ἂν εἶναι προσποίησίς τις λόγων καὶ πράξεων, μετ᾽ εὐνοίας; ὁ δὲ περίεργος τοιῦτός τις, οἷος ἐπαγγέλλεσθαι ἀνας ὰς, ἃ μὴ δυνήσεται: καὶ ὁμολογȣμένȣ τῦ πράγματος δικαίȣ εἶναι, ἔν τινι ςὰς, ἐλεγχθῆναι: καὶ πλείω δὲ ἐπαναγκάσαι τὸν παῖδα κεράσαι, ἢ ὅσα δύνανται οἱ παρόντες ἐκπιεῖν: καὶ διείργειν τὰς μαχομένȣς, καὶ ἧς ȣ̓ γινώσκει ἀτραπῦ ἡγήσασθαι, εἶτα μὴ δύνασθαι εὑρεῖν, ȣ῟ πορεύεται: 2 καὶ τὸν ςρατηγὸν δὲ προσελθὼν ἐρωτῆσαι, πότε μέλλει παρατάττεσθαι, καὶ τί μετὰ τὴν αὔριον παραγγέλλει? καὶ προσελθὼν τῷ πατρὶ εἰπεῖν, ὅτι ἡ μήτηρ ἤδη καθεύδει ἐν τῷ δωματίῳ: καὶ ἀπαγορεύοντος τῦ ἰατρῦ, ὅπως μὴ δώσει οἶνον τῷ καυματιζομένῳ, φήσας βȣ́λεσθαι

σθαι διάπειραν λαμβάνειν, εὐτρεπίσαι τὸν κακῶς ἔχοντα: 3 καὶ γυναικὸς δὲ τελευτησάσης, ἐπιγράψαι ἐπὶ τὸ μνῆμα, τοῦ τε ἀνδρὸς αὐτῆς καὶ τοῦ πατὸς καὶ τῆς μητρὸς καὶ αὐτῆς τῆς γυναικὸς τοὔνομα, καὶ ποδαπή ἐστι, καὶ προσεπιγράψαι, ὅτι οὗτοι πάντες χρηστοὶ ἦσαν: καὶ ὀμνύναι μέλλων, εἰπεῖν πρός τοὺς περιεστηκότας, ὅτι καὶ πρότερον πολλάκις ὀμώμοκα.

## XIIII.

### ΠΕΡΙ ΑΝΑΙϹΘΗϹΙΑϹ.

Ἔστι δὲ ἡ ἀναισθησία, ὡς ὅρῳ εἰπεῖν, βραδυτὴς τῆς ψυχῆς ἐν λόγοις καὶ πράξεσιν; ὁ δὲ ἀναίσθητος τοιοῦτός τις, οἷος, λογισάμενος ταῖς ψήφοις καὶ κεφάλαιον ποιήσας, ἐρωτᾷν τὸν παρακαθήμενον, τί γίνεται? καὶ δίκην φεύγων, καὶ ταύτην εἰσιέναι μέλλων, ἐπιλαθόμενος εἰς ἀγρὸν πορεύεσθαι: καὶ θεωρῶν ἐν τῷ θεάτρῳ, μόνος καταλείπεσθαι καθεύδων: 2 καὶ πολλὰ φαγὼν τῆς νυκτὸς, καὶ ἐπὶ θᾶκον ἀνιστάμενος, ὑπὸ κυνὸς τῆς τοῦ γείτονος δηχθῆναι: καὶ λαβὼν καὶ ἀποθεὶς

αὐτὸς,

αὐτὸς, τῦτο ζητεῖν, καὶ μὴ δύνασθαι εὑρεῖν: καὶ ἀπαγγέλλοντός τινος αὐτῷ, ὅτι τετελεύτηκέ τις αὐτῦ τῶν φίλων, ἵνα παραγένηται, σκυθρωπάσας καὶ δακρύσας, εἰπεῖν, ἀγαθῇ τυχῇ. 3 Δεινὸς δὲ καὶ, ἀπολαμβάνων ἀργύριον ὀφειλόμενον, μάρτυρας παραλαβεῖν: καὶ χειμῶνος ὄντος μάχεσθαι τῷ παιδὶ, ὅτι σικύυς ὐκ ἠγόρασε: καὶ τὰ παιδία ἑαυτῦ παλαίειν ἀναγκάζων καὶ τροχάζειν, καὶ εἰς κόπυς ἐμβάλλειν: καὶ ἐν ἀγρῷ αὐτοῖς φακῆν ἕψων, δὶς ἅλας εἰς τὴν χύτραν ἐμβάλλων, ἄβρωτον ποιῆσαι: 4. καὶ ὕοντος τῦ Διὸς, εἰπεῖν ἡδύγε: τῶν ἄςρων νομίζε, ὅ τι δὴ καὶ οἱ ἄλλοι λέγυσι, πίσσης: καὶ λέγοντός τινος, πόσυς οἴει κατὰ τὰς Ἠρίας πύλας ἐξενηνέχθαι νεκρὺς? πρὸς τῦτον εἰπεῖν: ὅσοι ἐμοὶ καὶ σοὶ γένοιντο.

## XV.

### ΠΕΡΙ ΑΥΘΑΔΕΙΑΣ.

Ἡ δὲ αὐθάδεια ἐςιν ἀπήνεια ὁμιλίας ἐν λόγοις; ὁ δὲ αὐθάδης τοιῦτός τις, οἷος ἐρωτηθεὶς, ὁ δεῖνα πῦ ἐςιν? εἰπεῖν: πράγματά

μοι

μοι μὴ πάρεχε: καὶ προσαγορευθεὶς, μὴ ἀντιπροσειπεῖν: καὶ πωλῶν τι, μὴ λέγειν τοῖς ὠνουμένοις, πόσου ἂν ἀποδοῖτο, ἀλλ' ἐρωτᾷν, τί εὑρίσκει: καὶ τοῖς τιμῶσι, καὶ πέμπουσιν εἰς τὰς ἑορτὰς εἰπεῖν, ὅτι οὐκ ἂν γένοιτο διδόμενα: 2 καὶ οὐκ ἔχειν συγγνώμην οὔτε τῷ ἀπώσαντι αὐτὸν ἀκουσίως, οὔτε τῷ ὤσαντι, οὔτε τῷ ἐμβάντι: καὶ φίλῳ δὲ ἔρανον κελεύσαντι εἰσενεγκεῖν, εἰπὼν ὅτι οὐκ ἂν δοίη, ὕστερον ἥκειν φέρων, καὶ λέγειν, ὅτι ἀπόλλυσι καὶ τοῦτο τὸ ἀργύριον: 3 καὶ προσπταίσας ἐν τῇ ὁδῷ, δεινὸς καταράσασθαι τῷ λίθῳ: καὶ οὐκ ἂν ὑπομεῖναι πολὺν χρόνον οὐδένα: καὶ οὔτε ᾆσαι, οὔτε ῥῆσιν εἰπεῖν, οὔτε ὀρχήσασθαι ἂν ἐθελῆσαι: δεινὸς δὲ καὶ τοῖς θεοῖς μὴ ἐπεύχεσθαι.

## XVI.

### ΠΕΡΙ ΔΕΙCΙΔΑΙΜΟΝΙΑC.

Ἀμέλει ἡ δεισιδαιμονία δόξειεν ἂν εἶναι δειλία πρὸς τὸ δαιμόνιον; ὁ δὲ δεισιδαίμων τοιοῦτός τις, οἷος ἀπονιψάμενος τὰς χεῖρας καὶ περιῤῥανάμενος ἀπὸ ἱεροῦ, δάφνης εἰς τὸ στό-

μα

μα λαβὼν, ὅτω τὴν ἡμέραν περιπατεῖν: καὶ τὴν ὁδὸν ἐὰν παραδράμη γαλῆ, μὴ πρότερον πορευθῆναι, ἕως διεξέλθῃ τὶς, ἢ λίθους τρεῖς ὑπὲρ τῆς ὁδοῦ διαβάλῃ: καὶ ἐὰν ἴδῃ ὄφιν ἐν τῇ οἰκίᾳ, ἱερὸν ἐνταῦθα ἱδρύσασθαι: καὶ τῶν λιπαρῶν λίθων τῶν ἐν ταῖς τριόδοις παριὼν ἐκ τῆς ληκύθου ἔλαιον καταχεῖν, καὶ ἐπὶ γόνατα πεσὼν καὶ προσκυνήσας, ἀπαλλάττεσθαι: 2 καὶ ἐὰν μῦς θύλακον ἀλφίτων διαφάγῃ, πρὸς τὸν ἐξηγητὴν ἐλθὼν, ἐρωτᾷν, τί χρὴ ποιεῖν: καὶ ἐὰν ἀποκρίνηται αὐτῷ, ἐκδοῦναι τῷ σκυτοδέψῃ ἀποῤῥάψαι, μὴ προσέχων τούτοις, ἀλλ᾽ ἀποτραπεὶς, ἐκδύσασθαι: καὶ πυκνὰ δὲ τὴν οἰκίαν καθαριεῖν: καὶ οὔτε ἐπιβῆναι μνήματι, οὔτε ἐπὶ νεκρὸν ἐλθεῖν, οὔτε ἐπὶ λέχει: καὶ ὅταν ἐνύπνιον ἴδῃ, πορεύεσθαι, πρὸς τοὺς ὀνειροκρίτας, πρὸς τοὺς μάντεις, πρὸς τοὺς ὀρνιθοσκόπους, ἐρωτήσων, τίνι θεῷ ἢ θεᾷ προσεύχεσθαι δεῖ: 3 καὶ τελεσθησόμενος, πρὸς τοὺς ὀρφεοτελεστὰς κατὰ μῆνα πορεύεσθαι μετὰ τῆς γυναικός; ἐὰν δὲ μὴ σχολάζῃ γυνὴ, μετὰ τῆς τίτθης καὶ τῶν παιδίων: καὶ ἐπὶ ταῖς τριόδοις ἀπελθὼν κατὰ κεφα-

λῆς

λῆς λȣ́σασθαι: καὶ ἱερείας καλέσας, σκίλλῃ ἢ σκύλακι κελεῦσαι αὐτὸν περικαθᾶραι: μαινόμενόν τε ἰδὼν ἢ ἐπίληπτον, φρίξας εἰς κόλπον πτύσαι.

## XVII.

### ΠΕΡΙ ΜΕΜΨΙΜΟΙΡΙΑΣ.

Ἔςι δὲ ἡ μεμψιμοιρία ἐπιτίμησις παρὰ τὸ προσῆκον δεδομένη; ὁ δὲ μεμψίμοιρος τοιός δέ τις, οἷος, ἀποςείλαντος μερίδα τȣ̃ φίλȣ, εἰπεῖν πρὸς τὸν φέροντα: ἐφθόνησάς μοι τȣ̃ ζωμȣ̃, καὶ τȣ̃ οἰναρίȣ, ȣ̓κ ἐπὶ δεῖπνον καλέσας: καὶ ὑπὸ τῆς ἑταίρας καταφιλȣ́μενος, εἰπεῖν: θαυμάζω, εἰ σὺ καὶ ἀπὸ ψυχῆς με φιλεῖς: καὶ τῷ Διῒ ἀγανακτεῖν, ȣ̓ διότι ὕει; ἀλλὰ διότι ὕςερον: 2 καὶ εὑρών τι καὶ ἐν τῇ ὁδῷ βαλάντιον, εἰπεῖν: ἀλλ᾽ ȣ̓ θησαυρὸν εὕρηκα ȣ̓δέποτε: καὶ πριάμενος ἀνδράποδον ἄξιον, καὶ πολλὰ δεηθεὶς τȣ̃ πωλȣ̃ντος, θαυμάζω, εἰπεῖν, ὅτι ὑγιὲς ȣ̓́τω ἄξιον ἐώνημαι: καὶ πρὸς τὸν εὐαγγελιζόμενον, ὅτι υἱός σοι γέγονεν, εἰπεῖν: ὅτι ἂν προσθῇς: καὶ τῆς ȣ̓σίας τὸ ἥμισυ ἄπεσιν, ἀληθῆ ἐρεῖς. 3 Καὶ δίκην

κην νικήσας καὶ λαβὼν πάσας τὰς ψήφους, ἐγκαλεῖν τῷ γράψαντι τὸν λόγον, ὡς πολλὰ παραλελοιπότι τῶν δικαίων: καὶ ἐράνου εἰσενεχθέντος παρὰ τῶν φίλων, καὶ φήσαντός τινος: ἱλαρὸς ἴσθι, καὶ πῶς? εἰπεῖν, ὅτι δεῖ τὸ ἀργύριον ἀποδοῦναι ἑκάστῳ, καὶ χωρὶς τούτων, χάριν ὀφείλειν ὡς εὐηργετημένον?

## XVIII.

### ΠΕΡΙ ΑΠΙΣΤΙΑΣ.

Ἔστιν ἀμέλει ἀπιστία ὑπόληψίς τις ἀδικίας κατὰ πάντων; ὁ δὲ ἄπιστος τοιοῦτός τις, οἷος, ἀποστείλας τὸν παῖδα ὀψωνήσοντα, ἕτερον παῖδα πέμπειν πευσόμενον, πόσου ἐπρίατο: καὶ φέρων αὐτὸς τὸ ἀργύριον, καὶ κατὰ στάδιον ἀριθμεῖν, πόσον ἐστί: καὶ τὴν γυναῖκα τὴν αὐτοῦ ἐρωτᾷν κατακείμενος, εἰ κέκλεικε τὴν κιβωτὸν, καὶ εἰ σεσήμανται τὸ κοιλιούχιον, καὶ εἰ ὁ μοχλὸς εἰς τὴν θύραν τὴν αὐλείαν ἐμβέβληται: καὶ ἐὰν ἐκείνη φῇ, μηδὲν ἧττον αὐτὸς ἀναστὰς γυμνὸς ἐκ τῶν

στρω-

ϛρωμάτων, καὶ ἀνυπόδητος τὸν λύχνον ἅψας, ταῦτα πάντα περιδραμὼν ἐπισκέψασθαι, καὶ ὅτω μόλις ὕπνȣ τυγχάνειν: 2 καὶ τȣ̀ς ὀφείλοντας αὐτῷ ἀργύριον, μετὰ μαρτύρων ἀπαιτεῖν τȣ̀ς τόκȣς, ὅπως μὴ δύναιντο ἔξαρνοι γενέσθαι: καὶ τὸ ἱμάτιον δὲ ἐκδȣ͂ναι δεινὸς, ȣ̓χ ὡς βέλτιϛα ἐργάσεται, ἀλλ᾽ ὅταν ᾖ ἄξιος ἐγγυητὴς τȣ͂ κναφέως: καὶ ὅταν ἥκῃ τις αἰτησόμενος ἐκπώματα, μάλιϛα μὲν μὴ δȣ͂ναι: καὶ τὸν παῖδα δὲ ἀκολȣθȣ͂ντα κελεύειν, αὐτȣ͂ ὄπισθεν μὴ βαδίζειν; ἀλλ᾽ ἔμπροσθεν, ἵνα φυλάττηται αὐτὸ, μὴ ἐν τῇ ὁδῷ ἀποδράσῃ: καὶ τοῖς εἰληφόσι τὶ παρ᾽ αὐτȣ͂ καὶ λέγȣσι: πόσȣ? κατάθȣ, ȣ̓ γὰρ σχολάζω πέμπειν.

## XVIIII.

### ΠΕΡΙ ΔΥΣΧΕΡΕΙΑΣ.

Ἔϛι δὲ ἡ δυσχέρεια ἀθεραπευσία σώματος, λύπης παρασκευαϛική; ὁ δὲ δυσχερὴς τοιȣ͂τός τις, οἷος λέπραν ἔχων καὶ ἀλφὸν καὶ τȣ̀ς ὄνυχας μεγάλȣς περιπατεῖν, καὶ φῆσαι,

ταῦτα εἶναι αὐτῷ συγγενῆ ἀῤῥωςήματα, καὶ τὸν πατέρα ἔχειν καὶ τὸν πάππον. 2 Ἀμέλει δὲ δεινὸς καὶ ἕλκη ἔχειν ἐν τοῖς ἀντικνημίοις, καὶ προσπταίσματα ἐν τοῖς δακτύλοις, καὶ ταῦτα μὴ θεραπεῦσαι, ἀλλ' ἐᾶσαι θηριωθῆναι: καὶ τὰς μασχάλας θηριώδεις καὶ δασείας ἔχειν ἄχρις ἐπὶ πολὺ τῶν πλευρῶν, καὶ τὰς ὀδόντας μέλανας καὶ ἐσθιομένας, ὥςε δυσέντευκτος εἶναι καὶ ἀηδής. 3 Καὶ τὰ τοιαῦτα: ἐσθίων ἀπομύττεσθαι: ἐσθίειν ἀρξάμενος προσλαλεῖν, καὶ ἀποῤῥίπτειν ἀπὸ τᾶ ςόματος: ἅμα πιεῖν, προσερυγγάνειν: ἐλαίῳ σαπρῷ ἐν βαλανείῳ χρῆσθαι: ἱμάτιον κηλίδων μεςὸν ἀναβαλόμενος, εἰς ἀγορὰν ἐξελθεῖν: καὶ εἰς ὀρνιθοσκόπα τῆς μητρὸς ἐξελθάσης, βλασφημῆσαι: καὶ εὐχομένων καὶ σπενδόντων ἐκβαλεῖν τὸ ποτήριον, καὶ γελάσαι, ὡς τεράςιόν τι πεποιηκώς: 4 καὶ αὐλάμενος δὲ κροτῆσαι ταῖς χερσὶ μόνος τῶν ἄλλων, καὶ συντερετίζειν, καὶ ἐπιτιμᾷν τῇ αὐλητρίδι μὴ ταχὺ παυσαμένῃ: καὶ ἀποπτύσαι δὲ βαλόμενος ὑπὲρ τῆς τραπέζης, προσπτύσαι τῷ οἰνοχόῳ.

XX.

## XX.

### ΠΕΡΙ ΑΗΔΙΑΣ.

Ἔςι δὲ ἀηδία, ὡς ὅρῳ περιλαβεῖν, ἔντευξις λύπης ποιητικὴ ἄνευ βλάβης· ὁ δὲ ἀηδὴς τοιῦτός τις, οἷος ἐγείρειν ἄρτι καθεύδοντα εἰσελθὼν, ἵνα αὐτῷ λαλῇ: καὶ ἀνάγεσθαι δὴ μέλλοντας κωλύειν, καὶ προσελθὼν, δεῖσθαι ἐπισχεῖν, ἕως ἂν περιπατήσῃ: 2 καὶ τὸ παιδίον τῆς τίτθης ἀφελόμενος μασσώμενον σιτίζειν αὐτὸς, καὶ ὑποκορίζεσθαι ποππύζων: καὶ ἐσθίων δ' ἅμα διηγεῖσθαι, ὡς, ἐλλέβορον πιὼν, ἄνω καὶ κάτω καθαρθείη, καὶ ζωμῦ τῦ παρακειμένυ ἐν τοῖς ὑποχωρήμασιν αὐτῷ μελαντέρα ἡ χολή: 3 καὶ ἐρωτῆσαι δὲ δεινὸς ἐναντίον τῶν οἰκείων, ὡς ποίᾳ ἡμέρᾳ μὲ ἔτικτες? καὶ ὅτι ψυχρὸν ὕδωρ ἐςὶ παρ' αὐτῷ λακκαῖον, καὶ ὡς κῆπος λάχανα πολλὰ ἔχων καὶ ἁπαλὰ, καὶ ὅτι ἡ οἰκία αὐτῦ πανδοκεῖόν ἐςι: καὶ ξενίζων δὲ δεῖξαι τὸν παράσιτον αὐτῦ, ποῖός τις, καὶ παρακαλῶν δὲ ἐπὶ τῦ ποτηρίυ, ὅτι τέρψον τὺς παρόντας.

## XXI.

### ΠΕΡΙ ΜΙΚΡΠΟΦΙΛΟΤΙΜΙΑΣ.

Ἡ δὲ μικροφιλοτιμία δόξειεν εἶναι ὄρεξις τιμῆς ἀνελεύθερος; ὁ δὲ μικροφιλότιμος τοιοῦτός τις, οἷος σπουδάσαι, ἐπὶ δεῖπνον κληθεὶς, παρ' αὐτὸν τὸν καλέσαντα κατακείμενος δειπνῆσαι: καὶ τὸν υἱὸν ἀποκεῖραι ἀπαγαγὼν εἰς Δελφούς: καὶ ἐπιμεληθῆναι δὲ, ὅπως αὐτῷ ὁ ἀκόλουθος Αἰθίοψ ἔσται: 2 καὶ ἀποδοὺς μνᾶν ἀργυρίου, καινὸν ποιῆσαι ἀποδοῦναι: καὶ βοῦν θύσας, τὸ προμετωπίδιον ἀπαντικρὺ τῆς εἰσόδου προσπατταλεῦσαι, στέμμασι μεγάλοις περιδήσας, ὅπως οἱ εἰσιόντες ἴδωσιν, ὅτι βοῦν ἔθυσε: καὶ πομπεύσας δὲ μετὰ τῶν ἱππέων, τὰ μὲν ἄλλα πάντα ἀποδοῦναι τῷ παιδὶ ἀπενέγκειν οἴκαδε, ἀναβαλόμενος δὲ θοιμάτιον ἐς τὴν ἀγορὰν περιπατεῖν: 3 καὶ κυναρίου δὲ τελευτήσαντος, αὐτῷ μνῆμα ποιῆσαι, καὶ στηλίδιον ποιήσας, ἐπιγράψαι ΚΛΑΔΟΣ ΜΕΛΙΤΑΙΟΣ: καὶ ἀναθεὶς δακτύλιον χαλκοῦν ἐν τῷ Ἀσκληπιῷ, τοῦτον ἐκτρίβειν στεφανῶν: καὶ ἀλείφεσθαι ὁσημέραι.

4 Ἀμέλει

4 Ἀμέλει δὲ καὶ συνδιοικήσασθαι παρὰ τῶν πρυτάνεων, ὅπως ἀπαγγείλῃ τῷ δήμῳ τὰ ἱερά: καὶ παρασκευασάμενος λαμπρὸν ἱμάτιον, καὶ ἐστεφανωμένος, παρελθὼν εἰπεῖν: Ὦ ἄνδρες Ἀθηναῖοι, ἐθύομεν οἱ πρυτάνεις τὰ ἱερὰ τῇ μητρὶ τῶν θεῶν ἄξια καὶ καλὰ, καὶ ὑμεῖς ἐκδέχεσθε τὰ ἀγαθά: καὶ ταῦτα ἀπαγγείλας, ἀπιὼν διηγήσασθαι οἴκαδε τῇ ἑαυτοῦ γυναικὶ, ὡς καθ' ὑπερβολὴν εὐημερεῖ.

## XXII.

### ΠΕΡΙ ΑΝΕΛΕΥΘΕΡΙΑΣ.

Ἡ δὲ ἀνελευθερία ἐστι περιουσία τὶς ἀπὸ φιλοτιμίας δαπάνην οὐκ ἔχουσα; ὁ δὲ ἀνελεύθερος τοιοῦτός τις, οἷος νικήσας τραγῳδοῖς, ταινίαν ἀναθεῖναι ξυλίνην τῷ Διονύσῳ, ἐπιγράψας αὐτοῦ τὸ ὄνομα: καὶ ἐπιδόσεων γινομένων ἐκ τοῦ δήμου ἀναστὰς σιωπᾷν, ἢ ἐκ τοῦ μέσου ἀπελθεῖν: καὶ ἐκδιδοὺς αὐτοῦ θυγατέρα τοῦ μὲν ἱερείου, πλὴν τῶν ἱερῶν, τὰ κρέα ἀποδίδοσθαι; τοὺς δὲ διακονοῦντας ἐν τοῖς γάμοις

μοις οἰκοσίτȣς μισθώσασθαι: 2 καὶ τριηραρχῶν, τὰ τȣ̃ κυβερνήτȣ ςρώματα ἀπὸ τȣ̃ καταςρώματος ὑποςορέννυσθαι; τὰ δὲ αὐτȣ̃ ἀποτιθέναι: καὶ ἐξ ἀγορᾶς δὲ ὀψωνήσας, τὰ κρέα αὐτὸς φέρειν καὶ τὰ λάχανα ἐν τῷ προκολπίῳ: καὶ ἔνδον μένειν, ὅταν ἐκδῷ θοιμάτιον ἐκπλῦναι: καὶ φίλȣ ἔρανον συλλέγοντος, προειδόμενος, ἀποκάμψας ἐκ τῆς ὁδȣ̃ οἴκαδε πορευθῆναι: 3 καὶ μὴ πρίασθαι θεραπαίνας; ἀλλὰ μισθȣ̃σθαι εἰς τὰς ἐξόδȣς: καὶ ἀναςὰς τὴν οἰκίαν καλλῦναι, καὶ τὰς κλίνας ἐκκορῆσαι: καὶ καθεζόμενος παραςρέψαι τὸν τρίβωνα ὃν αὐτὸς φορεῖ.

## XXIII.

### ΠΕΡΙ ΑΛΑΖΟΝΕΙΑΣ.

Ἀμέλει δὲ ἡ ἀλαζονεία δόξειεν εἶναι προσδοκία τινῶν ἀγαθῶν ȣ̓κ ὄντων; ὁ δὲ ἀλαζὼν τοιȣ̃τός τις, οἷος ἐν τῷ Δείγματι ἑςηκὼς διηγεῖσθαι ξένοις ὡς πολλὰ χρήματα αὐτῷ ἐςιν ἐν τῇ θαλάττῃ: καὶ περὶ τῆς ἐργασίας τῆς

δανει-

δανειςικῆς διεξιέναι, ἡλίκη, καὶ αὐτὸς ὅσα εἴληφε: 2 καὶ συνοδοιπόρϗ ἀπολαύσας ἐν τῇ ὁδῷ, λέγειν, ὡς μετ᾽ Ἀλεξάνδρϗ ἐςρατεύσατο, καὶ ὅσα λιθοκόλλητα ποτήρια ἐκόμισε, καὶ περὶ τῶν τεχνιτῶν τῶν ἐν τῇ Ἀσίᾳ, ὅτι βελτίϗς εἰσὶ τῶν ἐν τῇ Εὐρώπῃ, ἀμφισβητῆσαι, καὶ γράμματα εἰπεῖν ὡς πάρεςι παρ᾽ Ἀντιπάτρϗ, τρίτον δὴ λέγοντα παραγενέσθαι αὐτὸν εἰς Μακεδονίαν: 3. Καὶ διδομένης αὐτῷ ἐξαγωγῆς ξύλων ἀτελϗ̃ς, εἰπεῖν, ὅτι ἀπείρηται, ὅπως μηδ᾽ ὑφ᾽ ἑνὸς συκοφαντηθῇ: καὶ ἐν τῇ σιτοδείᾳ, ὡς πλείω ἢ πέντε τάλαντα γένοιτο αὐτῷ τὰ ἀναλώματα διδόντι τοῖς ἀπόροις τῶν πολιτῶν: 4 καὶ ἀγνώςων δὲ παρακαθημένων, κελεῦσαι θεῖναι τὰς ψήφϗς, καὶ ποσϗ̃ν αὐτὰς καθ᾽ ἑξακοσίϗς, κατὰ μίαν, καὶ προστιθεὶς πιθανὰ ἑκάςοις τϗ́των ὀνόματα, καὶ ποιῆσαι δέκα τάλαντα. Καὶ τϗ̃το φῆσαι εἰσενηνοχέναι εἰς ἐράνϗς αὐτόν: καὶ τὰς τριηραρχίας εἰπεῖν ὅτι ϗ̓ τίθησιν, ϗ̓δὲ τὰς λειτϗργίας ὅσας λελειτϗ́ργηκε: 5 καὶ προσελθὼν δὲ τοῖς τϗ̀ς ἵππϗς τϗ̀ς ἀγαθϗ̀ς πωλϗ̃σι, προσποίησασθαι ὠνητιᾷν:

καὶ ἐπὶ τὰς σκηνὰς ἐλθὼν, ἱματισμὸν ζητῆσαι εἰς δύο τάλαντα: καὶ τῷ παιδὶ μάχεσθαι, ὅτι ἐκ ἔχων χρυσὸν αὐτῷ ἀκολεθεῖ: καὶ ἐν μισθῷ τὴν οἰκίαν οἰκῶν, φῆσαι, ταύτην εἶναι τὴν πατρῴαν, πρὸς τὸν μὴ εἰδότα, καὶ ὅτι μέλλει πωλεῖν αὐτὴν διὰ τὸ ἐλάττω εἶναι πρὸς τὰς ξενοδοχίας.

## XXIIII.

### ΠΕΡΙ ΥΠΕΡΗΦΑΝΙΑΣ.

Ἔςι δὲ ὑπερηφανία καταφρόνησίς τις πλὴν αὐτε τῶν ἄλλων; ὁ δὲ ὑπερήφανος τοιοσδέ τις, οἷος τῷ σπεύδοντι ἀπὸ δείπνε ἐντεύξεσθαι φάσκειν ἐν τῷ περιπατεῖν, καὶ εὖ ποιήσας, μεμνῆσθαι ἐν ταῖς ὁδοῖς, καὶ προσελθεῖν πρότερος ἐδενὶ θελῆσαι: καὶ τὲς πωλεντάς τι καὶ μεμισθωμένες δεινὸς κελεῦσαι ἥκειν πρὸς αὐτὸν ἅμ' ἡμέρα: καὶ ἐν ταῖς ὁδοῖς πορευόμενος μὴ λαλεῖν τοῖς ἐντυγχάνεσι, κάτω κεκυφώς. 2 ὅταν δὲ αὐτῷ δόξῃ, ἑςιᾶν τὲς φίλες; αὐτὸς μὴ συνδειπνεῖν; ἀλλὰ

ἀλλὰ τῶν ὑφ' αὐτὸν τινὶ συντάξαι αὐτῶν ἐπιμελεῖσθαι: καὶ προαποςέλλειν δὲ, ἐπὰν πορεύηται, τὸν ἐρῦντα, ὅτι ἔρχεται: καὶ ὔτε ἐπ' ἀλειφόμενον αὐτὸν, ὔτε ἐσθίοντα ἐᾶσαι ἂν εἰσελθεῖν. 3 Ἀμέλει δὲ καὶ λογιζόμενος πρός τινα, τῷ παιδὶ συντάξαι τὰς ψήφυς διωθεῖν, καὶ κεφάλαιον ποιήσαντι, γράψαι αὐτῷ εἰς λόγον: καὶ μὴν ἐπιςέλλων μὴ γράψαι, ὅτι χαρίζοιο ἄν μοι, ἀλλ', ὅτι βύλομαι γενέσθαι, καὶ, ἀπέςειλα πρός σε ληψόμενος, καὶ, ὅπως ἄλλως μὴ ἔςαι, καὶ, τὴν ταχίςην.

## XXV.

### ΠΕΡΙ ΔΕΙΛΙΑΣ.

Ἀμέλει δὲ ἡ δειλία δόξειεν ἂν εἶναι ὕπειξις τῆς ψυχῆς ἔμφοβος; ὁ δὲ δειλὸς τοιῦτός τις, οἷος πλέων τὰς ἄκρας φάσκειν ἡμιολίας εἶναι: καὶ κλυδωνίυ γενομένυ ἐρωτᾷν, εἴ τις μὴ μεμύηται τῶν πλεόντων: καὶ τῦ κυβερνήτυ ἀνακόπτοντος πυνθάνεσθαι, εἰ μεσοπορεῖ, καὶ τί δοκεῖ αὐτῷ τὰ τῦ θεῦ? καὶ πρὸς

πρὸς τὸν παρακαθήμενον λέγειν, ὅτι φοβεῖται ἀπὸ ἐνυπνίου τινός: καὶ ἐκδὺς διδόναι τῷ παιδὶ τὸν χιτωνίσκον, καὶ δεῖσθαι, πρὸς τὴν γῆν προσάγειν αὐτόν: 2 καὶ στρατευόμενος δὲ προσκαλεῖν πάντας πρὸς αὐτὸν καὶ στάντας πρῶτον περιϊδεῖν, καὶ λέγειν, ὡς ἔργον διαγνῶναί ἐστι, πότερόν εἰσιν οἱ πολέμιοι: καὶ ἀκούων κραυγῆς, καὶ ὁρῶν πίπτοντας, εἰπεῖν πρὸς τοὺς παρεστηκότας, ὅτι τὴν σπάθην λαβεῖν ὑπὸ τῆς σπουδῆς ἐπελάθετο, καὶ τρέχων ὑπὸ τὴν σκηνὴν, τὸν παῖδα ἐκπέμψας, κελεύων προσκοπεῖσθαι, ποῦ εἰσιν οἱ πολέμιοι, καὶ ἀποκρύψας αὐτὴν ὑπὸ τὸ προσκεφάλαιον, εἶτα διατρίβειν πολὺν χρόνον: 3 καὶ ἐν τῇ σκηνῇ ὁρῶν τραυματίαν προσφερόμενον τῶν φίλων, προσδραμεῖν, καὶ θεωρεῖν κελεύειν, καὶ τοῦτον θεραπεύειν, καὶ περισπογγίζειν, καὶ μυίας σοβεῖν, καὶ πᾶν μᾶλλον, ἢ μάχεσθαι τοῖς πολεμίοις: καὶ τοῦ σαλπιστοῦ πολεμικὸν σημήναντος καθήμενος ἐν σκηνῇ: ἄπαγ᾽ ἐς κόρακας! οὐκ ἐάσεις τὸν ἄνθρωπον ὕπνου λαβεῖν πυκνὰ σημαίνων: 4 καὶ αἵματος δὲ ἀνάπλεως ἀπὸ τοῦ ἀλλοτρίου τραύματος, ἐντυγχάνειν

χάνειν

χάνειν τοῖς ἐκ τῆς μάχης ἐπανιȣσι, καὶ διηγεῖσθαι, ὡς κινδυνεύσας σέσωκε τὸν φίλον, καὶ εἰσάγειν πρὸς τὸν κατακείμενον σκεψομένȣς τȣς φυλέτας, τὸν δῆμον, καὶ τȣτων ἅμα ἑκάςῳ διηγεῖσθαι, ὡς αὐτὸς αὐτὸν ταῖς αὐτȣ χερσὶν ἐπὶ σκηνὴν ἐκόμισεν.

## XXVI.

### ΠΕΡΙ ΟΛΙΓΑΡΧΙΑΣ.

Δόξειεν ἂν εἶναι ἡ ὀλιγαρχία φιλαρχία τις ἰσχυρȣ κράτȣς γλιχομένη; ὁ δὲ ὀλιγαρχικὸς τοιȣτος, οἷος τȣ δήμȣ βȣλομένȣ τινὰς τῷ ἄρχοντι ἐπιμελησομένος πομπῆς παρελθὼν ἀποφήνας ἔχει: καὶ τῶν ὁμήρȣ ἐπῶν τȣτο ἓν μόνον κατέχειν, ὅτι οὐκ ἀγαθὸν πολυκοιρανίη; εἷς κοίρανος ἔςω: τῶν δὲ ἄλλων μηδὲν ἐπίςασθαι. 2 Ἀμέλει δὲ δεινὸς τοῖς τοιȣτοις τῶν λόγων χρήσασθαι, ὅτι δεῖ ἡμᾶς συνελθόντας βȣλεύσασθαι, καὶ ἐκ τȣ ὄχλȣ καὶ τῆς ἀγορᾶς ἀπαλλαγῆναι: καὶ παύσασθαι ἀρχαῖς πλησιάζειν, καὶ ὅτι ὑπὸ τινῶν ὑβριζόμενος εἰπεῖν: δεῖ αὐτȣς κἀμὲ τὴν

πόλιν

πόλιν οἰκεῖν? καὶ μέσον δὲ τῆς ἡμέρας ἐξιὼν, καὶ μέσην κȣρὰν κεκαρμένος, καὶ ἀκριϐῶς ἀπωνυχισμένος σοϐεῖν τȣ̀ς τοιȣ́τȣς λόγȣς: οὐκ οἰκητέον ἐςὶ τὴν πόλιν: 3 καὶ ὡς ἐν τοῖς δικαςηρίοις δεινὰ πάσχειεν ὑπὸ τῶν δικαζομένων, καὶ ὡς αἰσχύνεται ἐν τῇ ἐκκλησίᾳ, ὅταν τις παρακάθηται αὐτῷ λεπτὸς καὶ αὐχμῶν, καὶ ὡς μισητὸν τὸ τῶν δημαγωγῶν γένος, τὸν Θησέα πρῶτον φήσας τῶν κακῶν τῇ πόλει γεγονέναι, καὶ τοιαῦτα ἕτερα πρὸς τȣ̀ς ξένȣς, καὶ τῶν πολιτῶν τȣ̀ς ὁμοτρόπȣς.

## XXVII.

### ΠΕΡΙ ΟΨΙΜΑΘΙΑΣ.

Ἡ δὲ ὀψιμαθία φιλοπονία δόξειεν ἂν εἶναι ὑπὲρ τὴν ἡλικίαν; ὁ δὲ ὀψιμαθὴς τοιȣ̃τός τις, οἷος ῥήσεις μανθάνειν ἑξήκοντα ἔτη γεγονὼς, ταῦτα ᾄδων παρὰ πότον ἐπιλανθάνεσθαι: καὶ παρὰ τȣ̃ υἱȣ̃ μανθάνειν ἐπὶ τὸ δόρυ καὶ ἐπὶ ἀσπίδα: καὶ εἰς ἀγρὸν, ἐφ' ἵππȣ ἀλλοτρίȣ ὀχȣ́μενος, ἅμα μελετῶν ἀσπάζεσθαι, καὶ πεσὼν τὴν κεφαλὴν καταισχῦναι:

σχῦναι: 2 καὶ μακρὸν ἀνδριάντα παίζειν, καὶ πρὸς τὸν ἑαυτȣ͂ ἀκόλȣθον διατοξέυεσθαι, καὶ διακοντίζεσθαι, καὶ ἅμα μανθάνειν παρ᾽ αὐτȣ͂, ὡς ἂν καὶ ἐκείνȣ μὴ ἐπισαμένȣ, καὶ παλαίων ἐν τῷ βαλανείῳ πυκνὰ τὴν ἕδραν ςρέφειν.

## XXVIII.

### ΠΕΡΙ ΚΑΚΟΛΟΓΙΑΣ.

Ἔςι δὲ κακολογία ἀγὼν τῆς ψυχῆς εἰς τὸ χεῖρον ἐν λόγοις; ὁ δὲ κακολόγος τοιοςδέ τις ἐςὶν, οἷος ἐρωτηθεὶς, ὁ δεῖνα τί ἐςι, καθάπερ οἱ γενεαλογȣ͂ντες, πρῶτον ἀπὸ τȣ͂ γένȣς αὐτȣ͂ ἄρξασθαι: ὁ μὲν πατὴρ Σωσίας ἐξ ἀρχῆς ἐκαλεῖτο; ἐγένετο δ᾽ ἐν τοῖς ςρατιώταις Σωσίςρατος: ἐπειδὴ δ᾽ ἐς τȣ̀ς δημότας ἐνεγράφη; ἡ μέντοι μήτηρ εὐγενὴς Θράττα ἐςί: τὰς δὲ τοιαύτας ἐν τῇ πατρίδι εὐγενεῖς εἶναι φασίν; αὐτὸς δὲ ȣ̔͂τος ὡς ἐκ τȣ́των γεγονὼς κακὸς μαςιγίας: καὶ ἐπὶ τȣ́τοις διεξιὼν, ἆυται αἱ γυναῖκες ἐκ τῆς ὁδȣ͂ τȣ̀ς παριόντας ἁρπάζȣσι: 2 καὶ κακῶς λεγόντων ἑτέρων

συνε-

συνεπιλαμβάνεσθαι καὶ αὐτὸς, λέγων: καὶ ἐγὼ τοῦτον τὸν ἄνθρωπον πάντων μεμίσηκα, καὶ γὰρ εἰδεχθής τις ἀπὸ τοῦ προσώπου ἐστιν; ἡ δὲ πονηρία οὐδὲν ὅμοιον: σημεῖον δὲ, τῇ γὰρ ἑαυτοῦ γυναικὶ τρεῖς χαλκοῦς εἰς ὄψον δίδωσι, καὶ τῷ ψυχρῷ λοῦεσθαι ἀναγκάζει τοῦ Ποσειδῶνος ἡμέρᾳ: καὶ συγκαθήμενος δεινὸς περὶ τοῦ ἀναστάντος εἰπεῖν, καὶ ἄλλα πλεῖστα περὶ τῶν φίλων καὶ οἰκείων κακὰ εἰπεῖν, καὶ περὶ τῶν τετελευτηκότων κακῶς λέγειν.

Ex
Typographia Faberiana.